κρίνομαι· δικάζομαι
κρινόμεθα· μαχόμεθα. διαλυόμεθα
κρινομένους· ἀναιρομένους, ἀποθνήσκοντας
κρῖ(ν)ον· τὸ ξηρόν. τάσσεται καὶ ἐπὶ πτωχοῦ, καὶ νεκροῦ, καὶ ἐκπεπτωκότος· καὶ σχῆμα χορικῆς ὀρχήσεως
κρίνοντες· διαχωρίζοντες
κρίξαι· ἠχῆσαι, φωνῆσαι
[κρίον· ἀγγεῖον
κριόντων· βασιλευόντων]
κριός· ῥόπαλον πολιορκ(ητ)ικόν. καὶ ὁ τῶν προβάτων ἄρσην. ὄργανον ἀσπίδων. Ἀθηναῖοι δὲ τὰς τραχείας κόγχας καλοῦσι κρείους. καὶ παρὰ Ταραντίνοις τὰ μεταλλικὰ ἀναγράφεται κριός. καὶ παρὰ τοῖς ἀρχιτέκτοσι μέρος τι τοῦ Κορινθίου κίονος

SCR. 10. *Π* 470. 12. *E* 196. 13. Epist. ad Rom. III 8. 20. Thuc. VI 39. 23. *I* 517. 24. *Z* 188. 26. Aesch. Eum. 433. 30. Cf. *N* 129. 33. *B* 385? 39. *Θ* 31. 40. Xenoph. *KΠ* VII 4, 1. — *ι* 447.

ADNOT. 15. Cum forma nominis *κυλλῆστις* et *λιμνῆστις* comparavit Lobeck. Parall. p. 550. Malim *κριμνίτης* ex Ath. XIV p. 646 A Eustath. 1407, 24. 17. *κρίμνον* Suidas. 18. *κριμνεῖ,˚ ριγε* cod., *κρυμνεῖ· ῥιγοῖ* Mus., *ἔρριγε* Meinekius. Hesychius infra *κρυμνεῖ· ῥιγᾷ πέφρικε*; et Theognost. p. 21, 15 *κρυμώσσει· ῥιγοῖ*, Zonar. c. 1259 *κρυμῶσα· ῥιγῶσα* (l. *κρυμώσσουσα*). Ubique Theognostea forma revocanda videtur. Cf. *ῥουμάζεται· φρίττει* (h. e. *κρουμ.*) 19. *μάζα* ad *κρίμνα* retulit Ruhnken. — *μέλι φυρατὸν* cod., malim *μελίφυρτον*. 26. *κρῖναι* cod., em. Mus. 27. *κρινώμεθα — μαχώμεθα — διαλεγώμεθα* Mus. Cf. 4133; ubi *διαλυόμεθα* Musuri correctio est pro *δειλιόμεθα*. 30. *κρινθέντας* ordo. 34. *κτεινομένους* scribatur non opus videtur. 35. *καὶ τοὺς πτωχοὺς δὲ κρίνα λέγουσιν* Suid. *οἱ δὲ τὸν οὕτω πράττοντα καὶ γυμνὸν καὶ κρίνον ὠνόμαζον* Poll. ϛ 197 p. 272 Bekk. Huc spectat proverbium *κρίνου γυμνότερος* quod exstat ap. Iulian. Or. 6 p. 341 ubi vid. Petav. *τὸ ξηρόν* vide num ad *ῥικνόν* spectet. *χωρικῆς* Musurus recte in *χορικῆς* mutavit. Cf. Ath. III p. 114 F Eustath. 1018. 37. *κρᾶξαι*? 38. Imo *κρεῖον* vel *κρήϊον*. 39. *κρειόντων* Musurus recte sed invito ordine. 40. (ητ) Mus. Idem pro *ἄρσεν* dedit *ἄρσην*; possis etiam *τὸ — ἄρσεν*. — *ὄργανον ἀσπίσων* cod., *ὄργανον. ἀσπίς* Mus., em. Schowius p. 466, 16 *testudinem* intellegi monens. — *κριούς* cod., *κρείους* debetur Ath. III p. 87 B. — *μεταλλικόν τι*?

κριὸς ἀσελγόκερως· ἦν ἐν τῇ ἀκροπόλει κριὸς ἀνακείμενος μέγας χαλκοῦς. *ἀσελγόκερων* δὲ αὐτὸν εἶπε Πλάτων ὁ κωμικὸς διὰ τὸ μέγαν εἶναι, καὶ συναριθμεῖ αὐτῷ τόν τε δούριον ἵππον....... τὸ γὰρ *ἀσελγὲς* οὐ μόνον ἐπὶ τοῦ ἀκολάστου ἔταττον οἱ παλαιοί, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου· καὶ γὰρ *ἄνεμον ἀσελγῆ* λέγουσιν, ὡς Εὔπολις. ἄμεινον δὲ τὸν ἀσελγόκερων δέχεσθαι εἶναι τὸν κυρίττοντα, καὶ οἱονεὶ ἐξυβρίζοντα τοῖς κέρασιν

κριὸς τροφεῖα ἀπ(έ)τισε· παροιμία ἐπὶ τῶν ἀχαρίστων ἐστί. τὰς φάτνας γὰρ οὗτοι πλήττουσιν [οἱ κριοί]

κριοῦ διακονία· ὅταν προ(σ)τάσσωμεν παιδία διακονῆσαι, λέγομεν· δώσω σοι εἰ τύχοι ἀστραγάλους, ἢ ἰσχάδας. καὶ ὁ κριὸς οὖν εἶπε, κατέλειψε τοῦ ἀστραγάλου σοι δώσω

κριοφάγος· θεός τις, ᾧ κριοὶ θύονται

45. *Κρῖσα*· πόλις Φωκίδος

Κρίσαμις Κῷος· ἦν πολυθρέμματος. τούτῳ φασὶν ἔγχελυν ἐπιφαινομένην κατ' ἔτος τὸ κάλλιστον τῶν προβάτων ἁφαρπάζειν. καὶ τὸν Κρίσαμιν ἀνελεῖν. φαινομένην δὲ αὐτῷ ὄναρ κελεῦσαι καταθάψαι αὐτήν, τὸν δὲ μὴ φροντίσαντα παγγενεὶ ἀπολέσθαι

κρίσεως· δοκιμασίας

κρισίαι· τάξεις ἱππικαί

κρίσιν· ἀκολουθίαν

50. *κρίσις*· ἀνάκρισις

κρισσός· ἡ ἐν ταῖς δρυσὶ γινομένη διάφυσις, ὅθεν ῥέει ὁ ἰξός. ἢ ἡ ἐν τοῖς ἄρθροις διάφυσις σκληρὰ καὶ ὀζώδης

* *κρίσμιον*· φυλάκιον

κριτάν· κριτήν

κρίτανος· τέρμινθος

55. *κριτάς*· ὀδόντας

κριτήριον· δοκιμαστήριον, δικαστήριον

κριτικὸς ἐνθυμήσεων· διακρίνων λογισμούς

κριτός· ἄριστος. ἐπιλελεγμένος, ἐπίλεκτος

Κριῶθεν· ἀπὸ δήμου. ἔστι γὰρ ὁ Κριωεὺς δῆμος φυλῆς τῆς Ἀντιοχίδος

SCR. 41. Plat. fr. XXIV p. 688 Eupolis fr. inc. XXV p. 559. (Bergk. *zur Periegese der Akropolis* p. 28 sq.) 45. *B* 520. 56. Daniel VII 10. 26. 57. Hebr. IV 12, teste Cyrill. 63. 58. *H* 434. 59. Demosth. 1042, 6. *Κριῶθεν*, quo de cf. Theognost. 157, 10, restitutum Arist. Av. 645 ex Rav. Ven. et schol. pro *Θριῆθεν*.

ADNOT. 41. *τόν τε* cod., *τόν γε* Mus. Codicis lectionem revocavit Meinekius exx. crit. I p. 30 Com. vol. V p. 50 et lacunam verbis *καὶ τὸν βοῦν τὸν χαλκοῦν* probabiliter explevit. Cf. etiam *γλαῦξ ἐν πόλει*. — *κρείττονα* cod., *κυρίττοντα* Phot. 179, 1. 42. (*έ*) Mus. pro litera erasa. Idem *πλήττουσιν* pro *πλάττουσιν*. — *ἐπὶ* cod., *ἐπεὶ* Phot. 179, 7 Zenob. IV 63, em. AM. Denique malim *τὰ τροφεῖ' ἀπέτισε* cum Mein. Theocr. p. 459. 43. *προστάσσωμεν παιδίῳ* Hemst. — *κατέλειψε τοὺς ἀστραγάλους* Mus. Non expedio. Phot. 179, 9 Suid. proverbium habent, sed aliter explicant. „*Hesychius arguit hoc proverbium a fabulari puerorum doctrina esse profectum.*" Bernhardy p. 410. 46. *ἐν τῷ* cod., *αὐτῷ* Mus., neque aliter Zenob. IV 64 p. 102 Phot. 179, 10 Suid., unde *παγγενεὶ* pro *παγγενῆ* (Lobeck. Parerg. p. 515) restitui. In deterioribus libris *Κρίσσαμις* et *Κίσσαμις* scribitur. 49. Phot. 179, 16. 51. Cf. *κιρσός. ἰξίας. ἀξυλίς*. 52. Infra *κρόστινα*· *φυλακτήρια*. *φυλακεῖον* Musurus. Significationem hanc convenire voc. *κλεισίον* censet Vossius. Sed fortasse *φυκίον* legendum; tum *κρίθμον* (h. e. *κρῆθμον*) vel *μνίον* latet. 54. *κρίταμος* invenio ap. Diosc. 2, 156. 55. *κρίτας* codex, em. GDindorf. Thes. IV c. 1979 D, nisi *κριτῆρας* malis, quomodo *σωφρονιστῆρας* ab Aristotele vocatos esse tradit EM. p. 742, 37. Vide *κραντῆρες* et *σωφρονιστῆρες*. 58. Supra *κριζόν* habuimus. 59. *Κριῶθεν* — *Κριωθείς* cod., *Κριόθεν* — *Κριωεύς* Mus., *Κριωθεύς* Aldus.

60. *κροαίνων· τοῖς ποσὶ κρούων· ὁ ἐπιθυμῶν*
κροβάντιον· πολίον
Κρόβυζοι· γένος Θρᾳκῶν
[*κρόβαλος: ὁ* [*ὁ*]*μαλλὸς τῶν παίδων, καὶ αἱ τρίχες τῶν αἰδοίων*]
κροιός· νοσώδης, ἀσθενής
65. *Κροίσειοι στατῆρες· τινὰ......*
κρόκα· [*ἢ*] *κρόκη(ν)*
κρόκη· πέμματος εἶδος. ἢ ῥοδάνη
κρόκκαι· παραθαλάσσιοι ψῆφοι
κροκάλαι· ψῆφοι. ἀκταί. ἄμμος
70. *κρόκαλον· τὸ πανοῦργον παιδίον*
κροκόδειλος· τὴν τύλην, καὶ τὸ ζῶον, καὶ ἐν τῷ Νείλῳ, καὶ τὸ χερσαῖον
κροκόπεπλος· κροκοειδῆ ἱμάτια ἔχουσα
κρόκος· τὸ κροτόν. καὶ ἀλεκτρυόνες οἱ τὸν τράχηλον τοιοῦτον ἔχοντες κρόκη
κροκόττας· ζῶόν τι τετράπουν· Αἰθιοπικόν
75. *κροκύδες· γνάφαλα*
κροκυλεγμός· τὸ κολακευτικῶς τὰς κροκύδας ἀπολέγειν τῶν ἱματίων
Κροκύλ(ε)ια· πόλις
κροκύς· ἡ ἐχίδνιος [?] *βοτάνη*
κροκώδης· τινὲς ὡς δυσλύτων ὄντων τῶν ἐκ τῆς κρόκης δεσμῶν, ἔνιοι δέ, ὡς κρόκου φυομένου ἐκεῖ. τινὲς δὲ κροκώδη, ἐκ κροσσῶν συνεστραμμένων
80. *κρσλίαζε· πλησίαζε θᾶττον*
κρόμβος· ὁ κόνδυλος. καὶ ὁ καπυρός

SCR. 60. *Z* 507. Male Archilochi fragmentis inseruerunt, immemores pro *Ἀρχίλοχος* in scholl. l. c. *Ἀρίσταρχος* restitutum esse a Meinekio Q. Sc. I p. 19. Fallitur etiam Bergkius, qui voc. inter Aristoph. fr. inc. CXCVI p. 1213 recepit. 61. Herod. IV 49. 66. Hes. opp. 538. 72. *Θ* 1. 77. *B* 683. 79. Plat. Civ. 309 B. 80. Hipponactis videtur.

ADNOT. 60. Apoll. lex. 104, 13. schol. Il. *Z* 507 Theognost. 21, 14 Zonar. c. 1259 Hes. s. vv. *ἐκρόαινον* et *κραναίνει*. 61. *πιλίον* Lob. Proll. p. 90 n. glossam e *κορυβάντιον* detortam esse innuens. Fuit cum conicerem *Κράμβοτιν· πόλιν*, cf. Hecataeus et Herodian. ap. Steph. Byz. p. 380, 25 M. 62. *Κροβυζοί* cod., cf. Steph. Byz. Strab. VII p. 318. Athen. XII p. 536 D. Mein. Phil. XIV 30. 63. [*ὁ*] Mus. Ordo *κρόβυλος* h. e. *κρώβυλος* poscit, quod infra etiam male *κροβαλός* scriptum in codice a Musuro correctum est. Cf. Phot. p. 181, 6, schol. Arist. Vespp. 1259. Nubb. 980 Thuc. I 6. Hes. s. v. *μάλλυκες*. 64. *τὸ κροιὸν ἐπὶ τοῦ κολοβοῦ* Theognost. 21, 16. *ῥεῖος* (sic) *οὕτω δὲ λέγουσιν οἱ Κύπριοι τὸν ἀσθενῆ* EM. 539, 30. 65. *Κρειίσειοι· στατῆρες τινὰ κρόκα ἢ κρόκη.* cod., *τινὲς* Mus. + apposito; separaverunt certatimque emendaverunt viri docti praeeunte Heinsio. Cf. Polluc. III 87. IX 84 Plut. Moer. p. 823 A. 66. Correxi, *κρόκα* enim est accusativus irregularis pro *κρόκην* ascitus ab Hesiodo Opp. 538 (Lob. Parall. p. 168), unde finxerunt nominativum *κρόξ* quos sequuntur Theognost. 45, 32 et Hesych. s. v. 68. [*κ*] male Mus. Cf. Arcad. 106, 24, ubi scribendum, ne secum pugnet regula, *κάκκη οὐχ ἡ δειλία (ἀλλὰ τὸ κακέμφατον) λόκκη ἡ χλαμὺς* (cf. Hes.) *κρόκκη.* Aristot. Mech. Quaest. c. 16. *κρόκαις* fortasse Aeschylus dixerat Ag. 985, ubi nunc metro parum conveniens lectio est *ψαμμίας ἀκάτα* (*ἀκταῖς*), glossemati simillima. 69. Eustath. 855, 51; *κρόκαλος* male Theognost. p. 21, 5. 70. *κροκαλεῖτο· πανοῦργον* cod. *κρόκαλον· τὸ πανοῦργον* Mus. *κρωκαλέον· παιδίον πανοῦργον* Hes. infra. Nonne legendum potius *κρόταλον*? 71. *τὴν τύλην* quid sit nescio. — *καὶ τὸ ἐν* Mus. 72. *ἔχοντα* cod., em. Mus. 73. *τὸ φυτόν* an *τὸ κροκωτόν*? Statim Albertus pro *κρόκη* coni. *κρόκοι* vereor ut recte. 74. Plin. VIII 21. 30. Strab. p. 775 Wesseling. Diod. I p. 201. Barthelemy *Mem. de l'Ac. des Inscr.* t. 30 p. 534. Fortasse hinc aberrarunt *καὶ ἀλεκτρυόνες* ← *ἔχοντες κροκοκόττται*. 75. Sic codex, *κροκίδες* male Mus. 76. *κροκύλεγμος* — *κρόκυδας* codex, em. Thes. IV c. 1991 D. 77. (ε) Strab. VIII p. 376. 79. *κρώσσων* cod., *κροσσῶν* Mus. + *Κροκώδης δεσμός* lemma fuisse censebat Tittmannus coll. Zonar. c. 1253. 80. Cf. gl. *β* 301, ubi adde *πλησίαζε θόαζε* emendare L. Dindorf. Thes. III c. 424 B. 81. *κρομβός* corr. Schweighaeuserus, quando *καπυρός* significat; cf. Meinek. Com. IV p. 419 fr. VII. *κάνδυλος*?

κρομβότατον· καπυρώτατον. κατακεκονδυλωμένον
κρόμμυα[ν]· τὰ κρομυοπώλια
κρόμ[μ]υον· τὸ πρωὶ ὄψον τῷ πότῳ προσφάγιον· ἐρεθιστικὸν τοῦ οἴνου, τὸ δριμὺ κρόμμυον
85. *Κρόνια*· ἑορτὴ ἑκατομβαιῶνος μηνὸς Κρόνῳ
Κρονίδαρ· πολυετής
κρονικαὶ λῆμαι· παρὰ τὴν παροιμίαν γέγονε, τὴν χύτραις λημᾶν καὶ κολοκύνταις, ἐπὶ τῶν ἀμβλυωττόντων
Κρόνιον· ἑορτήν. ἢ παλαι..
κρόνιππον· παλαιόν
90. *Κρονίωνας*· παλαιοὺς ἀνθρώπου
κρονι[κ]ώτερα· ἀρχαιότερα
Κρόνοι· παλαιοί
Κρόνου πυγή· τὸ ἀρχαῖον καὶ ἀναίσθητον κρέας. ἀπὸ τοῦ Κρόνου
κροντᾷ· κατασήπεται
95. *Κροντίδαι*· μάντεων γένος
Κρόντωνας· ὁμοίως
κρόξ· κρόκη
κρόπιον· ἀξίνη δίστομος
κρόσσας· κλίμακας καὶ προκρόσσας ἄλλας ἐπ' ἄλλαις. τινὲς δὲ τὰς κεφαλίδας τῶν τειχῶν, ἢ προμαχῶνας, ἢ στεφάνας τῶν πύργων, ἢ τὰ κρηπιδώματα. καὶ γὰρ *κροσσοὺς* ἄχρι νῦν, τὰ κατώτατα τῶν ἱματίων. ὃ καὶ βέλτιον. καὶ γὰρ τὸ ὄνομα τῆς κλίμακος ἐγίνωσκεν ὁ Ὅμηρος, καὶ οὐδέπω ἦν πολεμικὰ ὄργανα
4200. *κροσσούς*· τὰ κάτω τῶν ἱματίων· τὰ ῥα(μ)ματώδη
κρόσταλλος· εἶδος ὑέλ[λ]ου
κρόστινα· φυλακτήρια
* *κρόσσας πύργων*· τὰς ἀναβαθμίδας τῶν τειχῶν
κροταλίζει· κρούει ταῖς χερσίν
5. *κρόταλον*· περίτριμμα. κρότημα
κροταφίς· σιδηρᾶ σφῦρα ἀκμή, (ἐκ) τοῦ ἑτέρου ὀξὺ ἔχουσα, ἐκ δὲ τοῦ ἑτέρου κρόταφον

SCR. 83. Eupol. fr. V vol. II 550. 84. *Λ* 629. 87. Ar. Plut. 581. 89. ADN. 92. Com. fr. CCCXI^b vol. IV p. 680. 99. *M* 258. 4203. *M* 258. 5. Eur. Cycl. 104 Ar. Nub. 260 alii.

ADNOT. 83. *κρομμύαν*· τὰ κρομμωπωλία cod., em. Salm. et Heinsius. Poll. IX 47. 84. *κρόμμυον*· τὸ πρωῒ — τόπω προσφάϊον cod. πρωϊνὸν — πότῳ προσφάγιον Mus. Scripsi *κρόμυον* quod cum *πότῳ ὄψον* iungendum esse docet locus Homericus, ubi vide schol. 86. Bergk. reliq. com. Att. p. 9. 87. Diogen. prov. V 63 p. 263. 88. *παλαιάν* Mus. qui compendium delevit, *παλαιόν* Alb. post Heinsium. Fortasse *Κρονίων ἑορτήν*·.... legendum, et *Κρονίων*· *παλαιῶν* ad Ar. Nubb. 398 referendum est. 89. *κρὸν, ἵππον* cod., em. Mus. Malim *κρόνιππος*· *παλαιός* propter Arist. Nubb. 1070. 91. *κρονικώτερα* cod., em. Is. Vossius. 93. *κέρας* cod., em. Diogen. V 64 p. 264. 94. *κρονιᾷ* Albertus. An *βροντᾷ*· *κατασκήπτει*? 95. *Κρητίδαι*· *μάντεις ἀπὸ Κρήτης* Phot. 178, 15. 96. Sic cod. Salmas. Voss., *Κρότωνας* Mus. Glossa e margine est atque ad *κρόττονες. ὁμοίως* referenda, q. v. 97. Theognost. II 40, 32 Lob. Parall. 106. *κρόκος* cod., em. Thes. IV c. 1987 D. 98. Cf. gl. *κ* 276. 99. *κρόσσαι. κρόσσας, κλίμακας ἄλλας* codex. Cf. Apoll. lex. 102, 14 Lehrs Aristarch. p. 231. 4200. *κρωσσοὺς — ῥαματώδη* cod. *κρωσσοὺς — ῥαμματώδη* Mus., em. Salmas. in Vopisc. p. 406 Cf. schol. Theocr. XIII 46 et Herodian. Eustath. 1746, 31 Poll. VII 64. Cf. *ἠὲ κροσσόν*. 1. Perperam scriptum pro *κρύσταλλος* videtur Thes. IV 2018 B. Dialectus est Cypria. *ὑέλλου* cod., em. Palmer. 2. Non liquet. *κουστωδία*? 3. *κρόρας* cod., em. Heinsius. 4. Contradicit Phot. 180, 11. 6. *κρόταλος*, quod prima manus mutavit in *κρόταφος*, cod., em. Iungerm. et Hemsterh. ad Poll. X 183 n. 21. Cf. Theognost. 21, 5. *ἀκμή* cod., *ἄκμωνος* Mus., *ἄκμονος* Hemsterhusius, *σιδηρᾶς σφύρας ἀκμή* Schowius.

κροτεῖ· κρούει
κρόταφος· κόῤῥη
κρότημα· ἐπὶ τῶν δολίων τάσσεται
κροτήσας· κτυπήσας ταῖς χερσίν
κροτήσατε χεῖρας· ἐπαινέσατε ταῖς χερσίν
κροτήσουσιν· ἐπαινέσουσι
κροτητά· ἐκγεγλυμένα. εὐτίνακτα. ἐπιτετρημένα
κρότοι· εὐφημίαι, ἔπαινοι
κρόττονες· ὁμοίως
κρότονοι· κρότονες
κροτονία· σταφυλή. αὐλίς
κρότων· οὕτω καλεῖται, ὅ τινες κίκι Αἰγύπτιον, οἱ δὲ σησαμῆν ἀγρίαν. καὶ τὸ ζῷον τὸ ἐν κυσὶ καὶ βουσὶ γινόμενον. ἄλλοι δὲ πυρσός
κροτώνη· τὸ ἐπιγινόμενον τοῖς δένδροις, μάλιστα τῇ ἐλαίᾳ
κρότωνος ὑγιέστερος· ....
κρουερ.· τοῦ φοβεροῦ
κροῦμαι· μύξαι
κροῦναι· τὰ ἄφορα δένδρα
κροῦναι· κρῆναι τέλειαι
κρουνοί· ῥεῖθρα, ὀχετοί, ὑδάτων ἐκβολαί
κρουνοφόρον· οὕτω καλεῖταί τι τῶν ἐν ταῖς ναυσίν
κρουνῶν· ῥευμάτων
κρούπανα· ξύλινα ὑποδήματα. καὶ κλεῖς. καὶ κρουπέζια καὶ κρουπεζοφόρος, ὁμοίως
κρουπαλίας· κλεῖδας
κρουπεζούμενος· τὰ ξύλινα σάνδαλια κρουπέζια λέγεται, καὶ ὑποδήματα ξύλινα, μεθ' ὧν τὰς ἐλαίας πατοῦσι. θέλει οὖν δηλοῦν, τοὺς τραχεῖς πόδας ἔχοντας
κρούπετα· ὑψηλὰ ἢ ξύλινα ὑποδήματα, ἢ γυναικεῖα
* κρύπτει· σκώπτει
κρουσιδημῶν· κρουσιμετρῶν. ἀπὸ τῶν ἐν τῷ μετρεῖν ἀπα[ν]τώντων
κρουσιμετρεῖν· ἐλλιπῶς μετρεῖν καὶ ἐνδεῶς. οἱ γὰρ φαύλως μετροῦντες συνέκρου(ο)ν τὰ μέτρα εἰς τὸ ἀποπίπτειν τὰ μετρούμενα. ἐντεῦθεν καὶ τὸ παραλογίζεσθαι παρακρούεσθαί φασιν

SCR. 9. Eur. Rhes. 495 Soph. fr. 823. 11. Psalm. XLVI 1. 13. Eur. fr. 470. 14. Plat. Legg. III p. 700 C. 15. Ar. Ran. 156. 18. Aristot. HA. V 19. 31. 19. Theophrast. HPl. I 8, 6. 20. Menand. IV p. 161. 27. Δ 454. 28. Cratin. CLIII vol. II p. 225. 33. Ar. Eqq. 859.

ADNOT. 8. *κρούσ* cod., *κρούει* Mus., *κρούσει?* 11. *χεῖρες* cod., *χεῖρας* Mus., om. Phot. 180, 15. Cum Hesychio convenit Cyr. 11. 13. *κρόττα· ἐκπεπαυμένα* codex, em. Theognost. p. 21, 7. *ἐπιτετριμμένα* cod., em. Meinek. Philol. XII 613. 15. Haud dubie legendum * *κρότον· ὁμοίως*. Cf. tamen *κρόντωνας· ὁμοίως*. 16. Si constaret, quod non constat, gl. α 7711 *ἀσκότονοι· κυνοραῖσταὶ κροτῶνες* integrum esse, hinc detortum dicerem *κρότονοι*. Supra habuimus *κόρτος· ὁ ἐν τοῖς κυσὶ κροτών* (*κρότων* codex.) Coniçias igitur haud improbabiliter *κρότοι· οἱ κροτῶνες* (male enim et codex *κρότονες* et Mus. *κρότωνες*). 17. Vide *κορώνεως*. 18. *κικαὶ αἰγύπιον — σισαμὶν* cod., *κίκυ αἰγύπτιον — σησαμίδα* Mus., correxi. Vid. Galen. lex. Hipp. 508. *ζῶον*] Hoc non *κρότων* sed *κροτὼν* scribendum. *πυρσός*] fortasse *πύος*; cf. Poll. IV 190 Hippocr. 479, 54. 19. Inexplicabile iudice Lobeck. Proll. p. 230. 20. Zenob. VI 27 App. prov. III 51. 21. Correxerat Musurus *κρουεροῦ*, deinde vero *κρουεροῖο* scripsit. Glossa Laconica. Cf. *ῥουμάζεται*: 22. Lobeck. rh. p. 281 n. Vide *κορῦναι· μάξαι*. 23. E dialecto pro *γρῶναι*. 25. *Ἠλεῖαι* Unger parad. Thebb. p. 462. 28. Cf. Hesych. *ἀμφίλινα*, ubi *κρούπαλα* legitur. *κρουπέζια* Poll. X 153 *κρουπέζαι* idem VII 87 Paus. ap. Eustath. p. 867, 29 indeque Phot. 180, 22. 30. *κρουπεζουμένους* Alb. 31. Malim *κρούπεττα* cum dialectus sit Boeotica. 32. Ordo *κρούπτει* requirit. Cf. gl. η 871. 33. *κρουσιδημῶν· κρουσιμετρεῖν* cod., em. Mus. Phot. 181, 1. In Aldina *κρουσιδήμων· κρουσιμέτρων* vitium typothetae. [ν] Mus. 34. *λετρούμενα* codex.

35. κρουσιής· ἐλλιπής
κρουσίθυρον· μέλος τι οὕτως ἐκαλεῖτο
κροῦσιν· τὴν ὑπόκρισιν, τὸν παραλόγισμόν. καὶ μουσικὸν ὄνομα. καὶ τῶν πρὸς τὸ λέγειν ἐν ταῖς ζητήσεσιν ὑποκρούονται
κροῦσις· τὴν πρὸς τὸ λεγόμενον ἐν ταῖς ζητήσεσιν ἀντίρρησιν καὶ παράκρουσιν· οὕτω φασίν
κρόντεῖται· κοκκίζει
40. κρυβάζει· ἀποκρύπτει
κρύβδα· κρυφιμαίως
κρύβδην· λάθρα
κρυβηλός· κρυπτὸς πύργος·
κρύβες· νεκροί
45. κρυβησία· νεκυσία
κρυβῆτας· τετελευτηκότας
κρυερήν· ψυχράν. κρυσταλ(λ)ώδη
κρυερόν· φρ(ι)κτόν. μισητόν. ἀναιδές. φοβερόν. ἐλεεινόν, οἰκτρόν, δεινόν, χαλεπόν. πονηρόν, κακόν, δυσχερές
[κρύμα· εὕρημα]
50. κρυμνός ἢ κρυμός· πάγος, ψῦχος, μέγα ῥῖγος
κρυμνεῖ· ῥιγᾷ, πέφρικε
κρυόεσσα· φρικτή. μισητή. τραχεῖα
κρυόεσσα ἰωκή· ἡ φρικτὴ καὶ φοβερὰ βοή
κρύος· ῥῖγος, ψῦχος
55. κρυπταδίη· λαθραία, κρυφιμαία
κρυπτεύομαι· ἐνεδρεύομαι
κρυπτάδιος· λαθραῖος
κρύσταλ(λ)ος· τὸ πεπηγὸς ὕδωρ ὑπὸ κρύους
[κρύφαλον· σαβάκανον]
60. κρυφανδόν· κρυφίως
κρυφῆ· λάθρα, ἀδήλως, κρυπτῶς

SCR. 41. *Σ* 168. 42. λ 454. 50. Eur. fr. 683. 53. *E* 740. 54. Aesch. Sept. 834. 55. *Z* 161. 56. Eur. Helen. 548. 58. *X* 152. 60. ξ 330. 61. Soph. Ant. 85 Xen. Symp. 5, 8 (Bekk. I 103, 33).

ADNOT. 35. Corruptum est, ni fallor, ex *κροῦσις* vel ex *κρούσῃς* e Soph. ap. Harpocr. 147, 17 *ὡς μήτε κρούσῃς μήθ' ὑπὲρ χεῖλος βάλῃς*. Meinekius *κρουσίης* (ionice pro *κρουσίας*) accinit; e. g. *μέδιμνος*. 36. *κρουσίθυρος· μέρος τι* cod., illud Thes. Thes. IV c. 2008 D ex Eustath. 1236, 57, hoc Meurs. Orchestr. p. 44 et Erasmus Schmidius ad Luc. XIII 25 emendarunt. Cf. Velsen ad Tryphon. p. 76. 77. 37. *μουσικόν*] Dorvill. Vann. Crit. p. 29. *ἀναλογισμός* male Phot. 181, 2. — *τὴν πρὸς — ὑπόκρουσιν* Mus., *τὸν — ὑποκρούοντα*? nisi melius absit. 39. *κοκκύζει* Vossius haud male; nam *κόκκυ res est minutissima*, *κρουτεῖται* igitur est *scrutatur*, e dialecto pro *γρυτεύεται* a *γρῦ γρύτη scruta gruta*. 40. Lob. rhem. p. 217. Infra *κυρβάδωμεν· κρύψωμεν*, quod Meinek. Philol. XII 614 *κυρβάδδωμεν· κρούσωμεν* scribi iubet. Sed cf. Philol. XIII p. 221. 41. *κρύφιμένως* cod. *κρυφιμαίως* Mus. *κρυμφαίως* Ald. *κρυφαίως* Is. Vossius. 43. *κρύβηλος· πύργος* Theognost. 21, 15 *κρυβηλός* Zon. c. 1253, q. l. Tittmannus *κρυβηλὸς πύργος· κρυπτὸς πύργος* legendum esse monuit. Cf. Lob. Proll. p. 109. 44. Omisit Lob. Parall. p. 117. Cf. *κτέρες* et *κῶφες* (l. *κωφεῖς*). 47. (λ) Mus. 48. (ι) Mus. *φρ.κτὸν* cod., *φριητόν* Aldus. 49. *εὕρυμα* cod., em. Phavor. Glossa *κύρμα* legenda, vel *κύρημα*. Cf. Lob. Path. El. 501. 50. Formam *κρυμνός* etiam Tryphiodoro 189 ex uno libro et Polyaeno III 9, 34 illatam non minus vitiosam esse atque *κρυμνῶδες* ap. Hippocr. 364, 29 adnotat Thes. c. 2013 BC. 51. *κρυμώσσει*? Cf. gl. κ 4118 et *στιβιᾶν*. 53. *ἢ φρίκη* cod., *ἡ φρικτή* Mus., *ἡ φρίκη* Schowius monens *βοή* potius ad *ἰωή* spectare. Cf. Apoll. lex. 104, 21. 55. *κρυπτάδην* cod., *κρυπταδίη* Mus., em. Thes. IV c. 2019 D. post Pearsonem Adv. II p. 452. 57. *ἀρχαῖος* cod., em. Ruhnken. 58. (λ) Mus. Iacobs ad Philostr. p. 281. 59. *κεκρύφαλον* Salmasius, *σαβακάθιον* Lob. Proll. p. 90 n. 12. 60. *κρυφάνδων* cod., *κρυφανδόν* Mus. Forte *κρυφηδόν* e Hom. ξ 330. Et sic Iensius Luc. Hes. p. 145.

κρυφίνους· ὑπούλους
κρυψίνους· δόλιος, πανοῦργος
κρυώδους· φρικώδους
65. * κρόβον· δρέπανον
κρωβύλος· ὁ μαλλὸς τῶν παίδων, ἢ ὁ κόρυμβος τῆς. ἐκ πλοκῆς γάρ ἐστιν ἀνηνεγμένη ἀπὸ μέσου τοῦ μετώπου ἐπὶ τὴν κορυφήν. οὕτω δὲ καὶ ὁ ῥήτωρ Ἡγήσιππος, καὶ δήγγος ἐκαλεῖτο Κρωβύλος. καὶ ὁ μαλλὸς τῶν αἰδοίων
Κρωβύλου ζεῦγος· παροιμία τασσομένη ἐπὶ τοῖς ὑπερβαλλούσῃ κεχρημένοις πονηρίᾳ. μετενήνεκται δὲ ἀπὸ πορνοβοσκοῦ τινος
κρώζειν· ὡς κόραξ κράζειν
κρ.ωδαίτης· ὁ δαιτρός
70. κρωκαλέον· παιδίον πανοῦργον
κρωμακόεν· κρημνῶδες
κρώμαξ· σωρὸς λίθων
Κρῶμνα· πόλις Παφλαγονίας, καὶ Θεσσαλίας
κρώζει· κράζει
75. κρόπιον· δρέπανον. τινὲς δὲ διὰ τοῦ β κρόβιον
κρωσσοί· ὑδρίαι, στάμνοι, λήκυθοι
κρωτάνεροι· βάνασσοι. πολῖται. καὶ ἐξελευθεριῶται
κτᾶ· ἔκτεινε
κτᾶν· κτᾶναι. φονεύειν, ἀνελεῖν
80. κτάνειν· κτείνειν
κτάνθεν· ἀπώλοντο
κτάρα· ἰχθῦς βραχύτερος πάντων
κτάσθαι· ἀναιρεθῆναι. κτανθῆναι
κτᾶται· ὠνεῖται
85. κτάτεσι· κτήμασι
κτᾶτο· ἐκτήσατο. ἀπέθανεν

SCR. 63. Xen. *КП* I 6, 19. 66. Thucyd. I 6 — Aeschin. p. 9, 35. 10, 31. 73. *B* 855. 74. ADN. 83. *O* 558.

ADNOT. 62. Leg. *κρυφίλους* vel cum Cyrillo Marino *κρυψίνους*. *ὕπουλος* sine caussa Mus.. 63. Cf. LDindorf. Xen. Cyr. VIII 2, 1. *κρυψινὸς* cod., *κρυψίνους* Mus., *κρυψῖνος*? 65. Cf. Lob. rhem. p. 37 et gl. *καισεκκρώπιον*. Series *κρώβιον* poscit. 66. *κροβαλὸς ὁ ὅμαλος* cod., *κρώβυλος ὁ ὁμαλὸς* Mus., em. Heinsius nisi quod contra Arcadii regulam 56, 11 Lob Proll. 122 *κρώβυλος* retinuit. Mox *τῆς ἐκπλοκῆς γάρ ἐστιν* cod., *τῆς ἐμπλοκῆς, ἥ ἐστιν* Aldus; *τῆς ἐκπλοκῆς, ἥ ἐστιν* Mus. Forte [ὁ] *κόρυμβός τις. ἐκ πλοκῆς γάρ ἐστιν. δημάγωγός* Meurs. Att. Lectt. III 6 p. 122. Cf. Meineke hist. crit. p. 475 sq. *Κρόβουλος καὶ ὁμαλὸς* cod., *Κρώβυλος καὶ ὁ μαλλὸς* Mus. Vid. Boisson. Aristaen. p. 441. 67. *κροβύλου* cod., em. Mus. Cf. Meinek. l. c. Interpp. Zenob. IV 69. p. 103. 69. *κρωδετής· ὁ δετρός* cod., *κρωδετής· ὁ δαιτρός* Mus., *κρωδαίτης* vel potius *κρεωδαίτης* (Poll. VI 34 VII 25 Plutarch. Lys. c. 23 al.) HSt. 70. Supra *κρόκαλον* vel potius *κροκκάλη* habuimus cum eadem interpretatione. 71. *κρωμακ.εν· κριμνῶδες* cod., *κρωμακωεν* scriptum fuisse videbatur Schowio, em. Mus. Cf. *κλωμακόεν*. 72. Lob. rhem. 281 n. 73. *Κρώμνα* cod. Cf. Steph. Byz. 383, 3. *Θεσσαλίας* suspectum. 74. Forte *κρώξει· κεκράξεται*, quod series requirit. *κρώζει· κράζει* ad Ar. Av. 2 spectare possit. 75. *κρόπιον* cod., vide *καισεκπρώπιον*. Recte habet *κρωπίον* a *κρῶπος*, cuius meminit Theognost. 69, 4 *ῥῶπος* (l. *κρῶπος*) *καὶ κρῶπος* (l. *ῥῶπος*) *ὁ παντοδαπὸς φόρτος*. 76. 77. Separant edd. Hag. Schrew. 77. *κρωτάνερδι· βάνασσοι* in codice exstitisse ante Musuri correctionem *κροτάνεροι· βάνουσοι* testis ex Schowius. Non liquet. Hoc tantum video Laconicam esse formam nominativi plurativi *κρωτᾶνερ· οἱ* pro *κρωτᾶνες· οἱ*. 78. *κτά ἢ ἔκτα· ἔκτεινε* Mus. 79. ‚*Oblato uti vereor; nam κτᾶν vitiatum, κτᾶναι non interpretandi caussa appositum, sed germana scriptura videtur a κταίνω, unde κτάντης et ἔκταγκα*‘ Lob. rhem. p. 6. 80. Lob. rhem. p. 120. 82. *Ἰκτάρα* Hesych. supra, *ἴκταρ* Ath. VII 329 A, *ἴκταρ* Eustath. 1936, 22 Lobeck. Parall. p. 206. 83. *κτᾶσθαι* cod., em. HSt. 84. *ὀνεῖται* cod., *ὠνεῖται* Mus. 85. *κτάτεσιν* ἢ *κτεάτεσσιν* Mus. 86. Confundit *κτᾶτο* et *κτάτο*.

κτεανήχης· πένης
κτέανον· κτῆμα
κτεάνων· κτημάτων
90. κτέαρ· δῶρον. κτῆμα. γέρας. σκεῦος
κτεάτεσ(σ)ι· κτήμασι, χρήμασιν
κτείνει· φονεύει, ἀναιρεῖ
κτείς· κτένιον
κτεατίσασθαι· κτήσασθαι
95. κτέκας· τοὺς τῶν χειρῶν καρποὺς καὶ τῶν ποδῶν. καὶ τὰ [σ]τήθη. μεταφέροντες ἀπὸ τῶν εἰς τὰς τρίχας ἐπιτηδείων κτενῶν. λέγουσι δὲ καὶ τὰς νωτιαίας πλευράς
κτένια· τῶν κιθαρῶν οἱ ὑπερέχοντες ἀγκῶνες λέγονται
κτενώμεθα· ἀναιρούμεθα
κτενωτή· ὑφαντή
κτενωτὴν τρίχα· τὴν ἐφαπτίδα. κτενωτὴν τὴν ὑφαντήν, τρίχα δὲ ἐπεὶ τὰ ἔρια τρίχες εἰσὶν τῶν προβάτων
4300. κτέρας· κτῆμα
κτέρεα· ἐντάφια
κτέρες· νεκροί. καὶ ἀκτέριστοι οἱ ἄταφοι
κτερίζω· κτῶμαι. σκυλεύω. ἐνταφιάζω
κτερίσαι καὶ κτερίξαι· θάψαι, ἐνταφίασαι
5. κτερίσαι· πάντα τὰ εἰς τιμὴν τοῖς κατοιχομένοις ἐπιφερόμεν(α)
κτηδών· τριόδους
κτήματα· πάντα τὰ ὑπάρχοντα
κτήνεα· χρήματα
κτήνη· βοσκήματα
10. κτηνωδέστερα· ἀλογώτερα· κτήνη γὰρ τὰ ἄλογα
κτησάμενος· λαβών. ἔχων
κτῆσις· πλοῦτος
κτήτορες· οἰκιδίων. κτῆται
κτιδέα· γένος περικεφαλαίας. καὶ κτὶς δέ ἐστι ζῶον ὅμοιον γαλῇ, οὗ τὸ δέρμα εὔθετον εἰς περικεφαλαίας. τινὲς δέ φασι δορὰν λύκου
15. κτιλεύσασθαι ἢ κτιλώσασθαι· συληθῆναι
κτιλίς· τιθασσός. πρᾶος. ἡγεμών.
κτίλον· συνήθη
κτίλος· ὁ προηγούμενος τῆς ποίμνης. κριός

SCR. 89. e. g. Pind. Ol. III 75 Aesch. Ag. 1573. 90. *E* 154 al. 92. *ι* 408. 95. Aesch. Ag. 1603. 99. Poeta scenicus *τρίχα κτενωτὴν* dixerat. 4300. *K* 216. 1. *Ω* 38. 4. *α* 291. 7. *A* 402. 9. Aesch. Ag. 122. 12. *E* 158. 13. Act. Ap. IV 34. 84. *K* 335. 17. ADN. 18. *Γ* 196.

+

ADNOT. 87. *πύνῆς* cod., *πύνης* Mus., *πένης* Is. Voss., *κτεάνων ἠχήν* coll. *ἀχήν· ἠχήν* Pergerus. Conici potest etiam *ἀκτέανος ἠχήν* vel *κτέαν' ἠχήν*. 95. [σ] Meineke. 97. *κτεννόμεθεν*? Aeolice. 98. Spuria videtur. 99. Coniunxit Albertus; *ἐφαπτίδα. Κτενωτήν· τὴν* codex. 4300. EM. 542, 7. 1. Apoll. lex. 104, 25. 2. Lob. Parall. 74. Cf. *κρύβες*. gl. *α* 2665. 2667. 3. *κτερίζω* et *κεραΐζω· σκυλεύω* confundi putat Ruhnken. An *σκαλεύω*? 4. *ἐνθαφιάσαι* Aldus. Malim *κτερεῖξαι*. 5. *κτερίσαι· — κατεχομένοις ἐπιφέρομεν* cod., *κτέρεα· — κατοιχομένοις ἐπιφερόμενα* Mus., quae nisi a gl. 4301 aberrarunt, inducto altero hoc *κτερίσαι* cum *ἐνταφιάσαι* coniungi poterunt. — *κτερίσματα* Mein. 6. *κτήδων· τριώδους* cod., *τριόδους* Mus., *κτηδον*(*ες* in litura, acc. om.)· *τριόδοι ἰχθύες. καὶ θηρίδια. καὶ ἐπ' εὐθείας τῶν ξύλων ἐκφύσεις* Phot. 181, 17. 13. *οἰκί κτῆσται* cod., *οἰκοδεσπόται κτίσται* Mus., *οἰκιδίων κτίσται* Schowius, *κτῆται* Scaliger. 14. Apoll. lex. 104, 26 Lob. Path. El. 72. 15. *συνεθίσαι* adiutus Is. Vossii coniectura GDindorf. Thes. IV c. 2039 B. Vocabulo *κτιλεύω* usus Pindarus ap. schol. Pind. Pyth. II 31. 16. *κτιλίς* codex, quod ordini convenit, *κτίλος* Mus. 17. Sic schol. Pind. Pyth. IV 31. 18. Infra corrupte *στίλος*.

Κτιμένη· κατῳκισμένη. καὶ πόλις Θεσσαλίας
20. κτίμενον· τὸ οἰκούμενον
κτίσαι· ἱδρῦσαι. οἰκίσαι. ἄρξασθ
κτίσμα· ποίημα, οἰκοδόμημα
κτίστης· ποιητής, πλάστης
* κτίτερ· κτίστης
25. κτίται· κτίστορες
* κτίσω· θήσω. ἀπάρξομαι. ποιήσω
κτυπεῖ· τῇ χειρὶ κρούει
κτυπέων· κτύπων. βροντῶν
κτυπία· ὁ ἐπιθαλάμιος κτύπος
30. κτυπίων· τῶν ἐπικρουμένων τοῦ θαλάμου, ἃ ἐπικτυποῦσιν ἔξωθεν, ὅταν συγκατακλίνηται τῷ νυμφίῳ ἡ γημαμένη
κτύπος· ψόφος. βροντή
* κτύναι ἢ κτοῖναι· χωρήσεις προγονικῶν ἱερείων. ἢ δῆμος μεμερισμένος
κτωμένοις· κεκτημένοις
κύαθος· σταγῶν, μικρὸν μέτρον. ἢ ἀντλητήριον
35. κυάθους· σκαφιώλια. ὠάρια σιδηρᾶ, οἷα κύαθος. δέχεται υγρου τινος οὐγγίας δύο
κυαίνων· ἔγκυος ὤν
[κυαισθεωμάριοι· βασανισταί]
40. κύαμος· ὄσπριον. [φάβα, μεγάλη.] ἢ ὁ κλῆρος καὶ τὸ ὑπὸ τὴν θηλὴν τοῦ μαστοῦ πρῶτον συνιστάμενον γάλα, καὶ τὸ Αἰγύπτιον κιβώριον λεγόμενον, καὶ καλούμενον
κυαμοτρώξ· ἐν ταῖς διαψηφίσεσι κυάμοις ἐχρῶντο καὶ ἐλάγχανον κυάμῳ, καὶ τοὺς τὸν λευκὸν κύαμον λαβόντας εἰληχέναι ἐνόμιζον
42. κυάμῳ ἐκκλησιαστικῷ· ψήφῳ
39. Κυαμίτης· ὁ πάγκος καλούμενος
38. κυαμεύειν· κληροῦσθαι
κυάμῳ πατρίῳ· Σοφοκλῆς Μελεάγρῳ, ὡς καὶ τῶν Αἰτωλῶν τὰς ἀρχὰς κυαμευόντων. διεκλήρου(ν) δὲ αὐτὰς κυάμῳ καὶ ὁ τὸν λευκὸν λαβὼν ἐλάγχανεν. ἀνάγει δὲ τοὺς χρόνους, ὡς καὶ ἐν Ἰνάχῳ, κυαμοβόλως δικαστήν

SCR. 20. Homerus passim ἐὺ κτίμενον. 25. Eur. Or. 1631. 28. *H* 479. 35. LXX. 40. *N* 589 — Hippocr. 665, 50. 41. Ar. Eqq. 41. 43. fr. 268. 370.

ADNOT. 19. Cf. Meinek. ad Steph. Byz. p. 388, 17. 21. οἰκῆσαι cod., em. Meinekius. 24. κτίτερ cod., κτίτηρ Iunius, κτιτήρ Wakefield; κτίτωρ vel κτίταρ Valcken. Theocr. Adon. p. 288 coll. EM. 392, 38 Eustath. 1175, 14. Ordo requirit κτίστωρ vel κτίστορ (a Ar. Avv. 926) quod si explicatione carebat, κτίστης in κτιστ ὑ ς·... mutari poterit ex Herodoto IX 97 allatum. 25. Lob. Parall. p. 428. 26. θύσω cod., corr. Meinek. Philol. XIII p. 562. Praeterea κτιῶ Vossius ordini consulens. 28. κτυπίων cod., em. Alb. 29. 30. κτυπιῶν Meibomius, atque hoc vel κτύπια verum erit, nisi prior vocabuli pars dempta sit. 32. χωρήσης cod., χωρήσεις Mus., imo χώρισις vel χωρίσεις. De glossa ipsa non liquet. 34. σταγῶν corruptum. Cf. Phot. 182, 4. σταγών vel σκάφιον coni. Meineke. 35. σκαφιόλια C. 11, idem e Stephani et Theodoreti lex. ms. affert Schowius. δέχεται δὲ Mus., qui etiam compendium ου β' solvit. 37. Om. Mus. 40. φάβα με om. Mus. μεστοῦ cod., em. Phavor. De re cf. Poll. II 163 Eustath. p. 749, 21. καλούμενον cod., λεγόμενον καὶ sunt qui proscripserint, καὶ κολοκάσιον Sopingi coniecturam laudat Meinekius. Cf. Plin. HN. XXI 15. 41. εἰνηχέναι cod., em. Mus. De accentu voc. cf. Arcad. 19, 11. Post κυαμοτρώξ excidisse nonnulla e Suida petenda patet. 42. ἐνκαστικῷ cod., δικαστικῷ Mus., em. Meinek. Philol. XIII p. 511. 39. Cf. Paus. I 34, 3 Bekk. 274, 14 Phot. 182, 8. πάγκοινος Toup. Em. 2 p. 468 Ἴακχος Sopingus et Salmas. in Solin. p. 258. 43. (ν) Mus., cui etiam ὁ τὸν pro ὅταν debetur. κυαμοβόλως δικιστήν cod., κυαμοβόλον δικαστόν Mus., κυαμόβολον δ. Ellendt lex. Soph. I p. 996, κυαμοβολῶ σε δικαστήν Nauck. fr. trag. p. 153. Primus haec verba seorsim scripsit, ut essent initium alterius glossae, Heinsius, sed male.

κυανέη· μελαίνη. φαιᾷ
κυανέησι· φαιαῖς. μελαναῖς
κυάνεος· μέλας. σκοτεινός·
ἐλέλικτο δράκων
μέλας ἐν τῷ ἀναφορεῖ
κυανέων· Μαύρων, Αἰθιόπων
κυανόν· εἶδος χρώματος, οὐρανοειδές
κυανόπεζα· μελανόπους
κυανός· θαλάττιον ὕδωρ. καὶ ὄρνις
κυανοχαίτης· μελανόθριξ. Ποσειδῶν
κύαρ· τὸ τῆς ῥαφίδος τρῆμα. καὶ τὸ τῆς κώπης τοῦ μήλου
Κυάρη· ἡ Ἀθηνᾶ
κυβάβδα· αἷμα. Ἀμαθουσίοι
Κύβαβος· θεός
κυβαΐζοντες· λάσωνες
κύβ, τὸν ἐνθου..ντα, ἢ τὸν Ἑρμῆ(ν)
κυβάσαι· καταστρέψαι
* κύβας· συρός
κύββα· ποτήριον
κύβεθρα· τὰ τῶν μελισσῶν
κυβεῖον· τόπος, εἰς ὃν συνῆσαν κυβεύσοντες· ὃ νῦν τόπον δεξιόν
Κύβελα· ὄρη Φρυγίας. καὶ ἄντρα. καὶ θάλαμοι
Κυβέλη· ἡ μήτηρ τῶν θεῶν
κυβερνᾷ· ἰθύνει. διοικεῖ
κυβερνήσεις· προνοητικαὶ ἐπιστῆμαι καὶ φρονήσεις
κύβεσις ἢ κύβισις· πήρα
κυβεῦσαι· παῖξαι. ταβλίσαι. χλευάσαι
κυβευτήν·
σοφὸν κυβευτήν, ἀλλὰ μὴ στένειν τύχην
τὸν τοῖς κύβοις χρώμενον. ἐπιστήμην γάρ τινα ἐδόκουν τὸ [δὲ] δεξιῶς
χρῆσθαι. ἐπιστημονικωτέραν τὴν πεττείαν τῆς κυβείας ἐνόμιζον
κυβέβις· γάλλος. κίναιδος. μανιῶν
κυβηβᾷ· θεοφορεῖται. κορ(υ)βαντιᾷ

SCR. 44. Υ 419. 45. Ρ 209. 46. Λ 38. 47. Hesiod. Op. 528. 49. Δ 628. 50. Arist. HA. IX 21 (Aelian. HA. IV 59). 51. Υ 224. 52. Hippocr. p. 406, 42. 471, 51. 52. Aeschin. 8, 22. 65. Pind. Pyth. V 164 Menand. IV p. 213. 66. 1 Cor. XII 28. 69. Soph. fr. 862 p. 265 Nck. 70. Cratin. fr. IX vol. II 1 p. 65.

ADNOT. 44. κυανέη· μελαίνη φαιᾶ cod., μέλαινα Mus., corr. Meinekius. 45. μελαίναις Mus., non opus. 46. ἀναφορεῖν male Mus. 48. Lobeck, Parall. p. 316, 14. 52. τρίμμα cod., τρῆμα Phavor., βελόνης τρῆμα recte Galen. Lex. p. 508. Lob. Proll. 395 n. 1, rhem. p. 96. 53. κυδρή Bruno. Nihil huc faciunt Γυρᾶ, q. v., Κυρράνη et Κυρρηστίς. 54. Supra ad gl. β 801 et in Philol. XIII p. 219 κυββάδα (h. e. κυμβάδα)· ἀλμάδα conieci. An scribendum κυ(βη)βᾷ· δαιμονᾷ ἐνθουσιᾷ? 55. Combabus. 56. 57. Sic codex, κυβαΐζοντες· Λάκωνες τὸν ἐνθουσιῶντα ἢ τὸν Ἑρμῆν Musurus. 56. κυσανίζοντες· Λάκωνες? Cf. Κυσολάκων. 57. Prius ad κύβηβον posterius ad κύβον (πᾶν τετράγωνον) pertinet. 58. Cf. γυβᾷ. Corrigendum videtur καταῤῥέψαι. 59. συρός cod., σορός Phavor. 60. κύπβα Bentl. Horat. Serm. II 2, 123. 61. Phot. 182, 16 Suid. Hesychius ipse s. v. σίμβλαι. Cf. κύβερτον s. v. κύψελον et κυβέρτιον ap. Phot. Suid. s. v. κυψέλη. 62. συνίεσαν κυβεύσοντες (pro κυβεύτοντες) — τόπος δεξιός Mus. κυβείου cod., em. Bruno. Schol. MS. ad Aeschin. Timarch. p. 178 B attulit Wesseling. 63. θαλάμαι coni. Hemsterh. ad Lucian. Iud. Voc. p. 90, coll. γύπας. 65. θύει cod., em. Heinsius. Cf. ἰθύνει. 66. ἐπιστολαὶ cod., ἐπιστῆμαι Gl. MSS. et Pricaeus. 67. ἡ cod., em. Munk. ad Fulgent. p. 60. Cf. gl. κ 2594. 2600. 69. μὴ στενὴν τυχεῖν — τὸ δὲ cod., μὴ στενὸν τυχεῖν — τῷ δὲ Mus., μὴ στένειν τύχην Stob. Flor. 108, 51 monente Hemsterh. ad Lucian. Necyom. p. 486. 70. Sic codex, κύβεβις Mus., κύβηβος Phot. 183, 1. Cf. κυπάται. 71. κυβῆκαι — κορβαντιᾷ cod., κορυβαντιᾷ Mus., κυβηβᾷ recte Kusterus ad Suid. s. v. κυβιστᾶν; cf. Phot. 182, 19.

71a. Κυβήβη· ἡ μήτηρ τῶν θεῶν. καὶ ἡ Ἀφροδίτη. καὶ ὑποδήματα, παρὰ Ἀρκάσιν. ἢ καὶ Φρυγῶν. παρ' ὃ καὶ Ἱππῶναξ φησί·

καὶ διόσκουρος Κυβήκη καὶ Θρηίκη Βενδῖν

ἄλλοι δὲ Ἄρτεμιν

κύβηβος· ὁ κατεχόμενος τῇ μητρὶ τῶν θεῶν

κυβηλικὸν τρόπον·........

κυβηλιστάς· καὶ κοβάλους. τὰς κακούργους λέγει

75. κύβηλις· μάχαιρα. ἄμεινον δὲ πέλεκυν, ᾧ τὰς βοῦς καταβάλλουσι

κυβηλίσαι· πελεκίσαι· κύβηλις γὰρ ὁ πέλεκυς

[κυβηστῆρ, πηδήτας· τινὲς ὀρχηστὰς ποικίλους]

[κυβηακή· πραγματεία. κύβευμα]

κύβηλις· τινὲς τὴν τυροκνῆστιν φασιν. ἔπαιξεν δὲ ὁ Κρατῖνος παρὰ τό·

χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν

80. κύβη· κυβευτήν

κύβηνα· σκήνωμα

κυβήναις· γλαῦξ[αις]

κυβησίαν· πήραν

κυβησίνδα· ἐπὶ κεφαλήν, ἢ τὸ φορεῖν ἐπὶ νώτου, ἢ κατὰ νώτου

85. κυβισίς· κήλη

κυβητίζω· ἐπὶ κεφαλὴν ῥίψω

κυβιτίζω· τοῖς ἀγκῶσι πλήττω

κυβιτόν· ὁ ἀγκών

κύβον· τετράγωνον

90. κύβος· πᾶν τετράγωνον, ἢ σχῆμα γεωμετρικόν, καὶ ἀριθμός τις. καὶ ᾧ οἱ κυβευταὶ χρῶνται. ἐκαλεῖτο δὲ τοῦ βόλου σχῆμα. καὶ παρὰ τοῖς μεταλ(λ)ικοῖς κύβος. καὶ οἱ Σαλαμίνιοι λέγουσι κύβον τὸ τοῦ ἱματίου σημεῖον, Πάφιοι δὲ τὸ τρύβλιον.

SCR. 72. Cratin. fr. IX p. 65. 73. Com. anon. fr. CXLV vol. IV p. 641. 75. Lycophr. 1170. 77. Π 570 ψ 79. Cratin. fr. LXII p. 198. 87. Epicharmus teste l. c.

ADNOT. 71a. Κύβηβος· ὁ κατεχόμενος τῇ μητρὶ τῶν θεῶν· θεοφόρητος. Χάρων δὲ ὁ Λαμψακηνὸς ἐν τῇ πρώτῃ τὴν Ἀφροδίτην ὑπὸ Λυδῶν καὶ Φρυγῶν Κυβήβην λέγεσθαι. Κύβηβον· Κρατῖνος Θρᾴτταις. τὸν θεοφόρητον (cod. θεόφραστον). Ἴωνες δὲ τὸν μητραγύρτην καὶ γάλλον νῦν καλούμενον Phot. 182, 20—183, 3. Itaque pro Κυβήκη, frustra a Lob. Proll. p. 299 n. 4 defenso, cum Th. Bergkio scripsi Κυβήβη. Deinde verba καὶ ὑποδήματα (ὑπόδημά τι?) παρὰ Ἀρκάσιν ἢ καὶ aut ad aliam spectare glossam elapsam aut transponenda esse patet; Hesychius haud dubie Ἀφροδίτη ὑπὸ Λυδῶν καὶ Φρυγῶν scripserat. Ἱππόναξ cod., em. Iunius. διόσκουρος. Κυβήκη· καὶ cod. Mus. Alb. Κυβήβη Θρηϊκίη· Βενδῖς vel Κυβήβη· Θρᾶκες Βενδῖν Th. Bergk. comm. de reliq. p. 92. Cf. et B. ten Brink Mnemos. II 53. Hipponactis tetrametrum trochaicum scazontem audire mihi videor hunc: καὶ Διὸς κούρας Κυβήβην καὶ Θρηϊκίην Βενδῖν, nisi διοσκέεα scripserat. 72. κύβηκος cod. Mus., κύβικος Aldus. 72. 73. Separavit Aldi typotheta. 73. Infra corrupte κυμβαλικὸς τρόπος· τῷ πελέκει κακουργῆσαι. 74. Malim τοὺς κακούργους λέγει καὶ κοβάλους. 75. κυβηλίς cod., κύβηλις Arcad. p. 31, 12 Lob. Proll. 110. Cf. Poll. VI 90. 76. πελεκῆσαι cod., em. Suid. Cf. Phot. 183, 4. 77. Vitiosam codicis scripturam restitui, ut de indole exemplaris Homerici ab Hesychio tractati constet; κυβηστῆρας, πηδητὰς Mus.; leg. κυβιστητῆρες. 78. κυβευτικὴ πραγματεία· κύβευμα? 79. κύβιλις — τυροκνιστήν — θεὸν — κυβινδίν cod.; κυβηλίς — τυροκνῆστιν — θεοὶ — κύμινδιν Mus. Cf. Phot. 183, 7 Bergk. reliq. com. Att. p. 47. 80. κύβην Mus. 81. Non liquet. 82. γλαυξί Mus. Corruptum videtur e κύβηνδις h. e. κύμινδις, vel κικυμῆϊς. Cf. etiam κυδάναν· τὴν γλαῦκα. 83. Cf. κίββα κίρβα κύβεσις κίβισις κύμβη. Nescio an etiam h. l. κίβισιν verum sit. 84. Sic etiam Phot. 183, 8 Pollux IX 122, κυβιστίνδα vereor ne vox nihili sit. Supra male κιβίνδα· κατὰ νώτου habuimus. 85. κοίλη HSt. κίβισις· πήρη? 86. κυβιστήσω coni. HSt. IV c. 2059 D, forte κυβιστάξω Dorice. 87. κυβητίζω cod., em. editio Hag. et Salmas. Cf. Ruf. Ephes. de appell. corp. hum. p. 29 ed. Clinch. Poll. XII 142 Ahrens Dial. II p. 393. 88. Δωριεῖς δὲ οἱ ἐν Σικελίᾳ κύβιτον Rufus l. c. De accentu non constat. 90. κῦβος — μεταλικοῖς cod., μεταλλικοῖς Mus. — τι βώλου? — σημεῖον] gl. 1210. Cf. adn. ad 4394.

κύβ(ω)λα· κῶλα. [ἢ ὀσφύς.] ἢ μεγάλα ὀστᾶ, καὶ ὠλέκρανα
* Κυδαθῆναις· ἔνδοξος Ἀθηναῖος
* Κυδαθηναῖος· δῆμος τῆς ἀφυλῆς τῆς Πανδιονίδος ἐν ἄστει
* Κυδαθόν· ὁμοίως
95. κυδάγχας· μάχας. λοιδορίας
κυδαγχόμενα· λοιδορούμενα
* κυδάσσει· ταράσσει. λοιδορεῖ
κυδάζεσθαι· λοιδορεῖσθαι
κυδαζόμενα· λοιδορησόμενα
4400. κυδαίνει· τιμᾷ, θαυμάζει. ἐγκωμιάζει
* κυδάναν· τὴν γλαῦκα
κυδαίνεται· δοξάζεται, σεμνύνεται
κυδαλίμη· ἔνδοξος, τιμία
Κυδαντίδαι· δῆμος τῆς Πτολεμαΐδος φυλῆς
5. [κυδάϊ· ἀρετῇ]
κύδαρ· τάφος
κύδαρος· νεὼς εἶδος
κυδάττειν· ἐπιφωνεῖν
κυδεσιχαίων· τῷ καθ' ἑαυτὸν ἀξιώματι
10. κύδηνεν· ἐδόξασεν. ἐμετεώρισε κατὰ διάνοιαν
κυδιάγειρα· μεγάλους καὶ ἐνδόξους τοὺς ἄνδρας ποιοῦσα
κυδιανείρη· τῇ τοὺς ἄνδρας δοξαζούσῃ
κυδίας· τὰ ἄνθη τῶν ὀδόντων
κύδιμος· ἔνδοξος, σεμνός, τίμιος
15. κυδίμως· τὰ αὐτά
κύδιον· κρεῖττον, αἱρετώτερον
κυδιόων· σεμνυνόμενος. χαίρων. δόξῃ ἐπαιρόμενος
κύδιστε· ἐνδοξότατε, σεμνέ, τιμιώτατε
κύδνος· κύκνος
20. κυδριμός· πόλεμος. θόρυβος, ταραχή
κυδοιδοπᾷ· ταράσσει, θορυβεῖ, κυκᾷ
* κυδοιμῶν· θορύβων, ταραχῶν
ΚΥΔΟΣ· δόξα, ἀρετή, νίκη, τιμή, ἀριστεία. λοιδορία, κακολογία

SCR. 98. Aeschyl. ap. schol. Soph. Ai. 721. 4404. Hyperides. 7. Antiph. fr. LXXXIX vol. III p. 159. 9. Δ 405. 10. Ψ 793. 11. Δ 225. 12. Ζ 124. 15. Pind. Ol. XIV 34. 16. Eur. Andr. 640 Alc. 963. 17. Β 578. 18. Ω 308. 20. Κ 523. 21. Ar. Pac. 1152 Nub. 616. 22. Iob. XXVIII 25. 23. Homerus passim. — *κύδου δίκην ὀφείλειν* proverbia.

ADNOT. 91. *ἡολέκρανά* cod. *ὠλέκρανα* Mus. — *κύβλα* cod., em. Is. Voss. favente non tantum ordine literarum sed etiam Polluce II 142: *ὀνομάζουσι δὲ τοῦτο καὶ κύβωλον. καὶ κύβιτον εἴποις ἂν ὡς Ἱπποκράτης.* Lob. Proll. p. 134. Infra etiam corrupte *κυρῶδα* pro *κύβωλα*. Sed eiusdem Pollucis auctoritate pro *κῶλα* malim *ἀγκῶνα* et verba *ἢ ὀσφύς* retraho ad gl. praec. Sic enim Simaristus Ath. IX p. 399 A: *ὀσφύος τὰ ἑκατέρωθεν κοιλώματα λέγουσι κύβους, γαλλίας.* 92. *Κυδαθηναῖος* Mus. *Huius glossae quae ratio sit hariolari licet, certo dici nequit, quum locum scriptoris ad quem referatur non noverimus.* GDind. 93. Imo *Κυδαθηναιεύς* (Ross. Dem. p. 124), cum *Κυδαθήναιον* a more Hesychii alienum foret. Mox *δῆμος τῆς Πανδιονίδος φυλῆς* Mus., *δῆμος τῆς α' φυλῆς κτλ.* Schowius. 94. Om. Musurus. 97. *κυδάζει* ordine requiritur, forma *κυδάσσει* Tarentinis propria. Cf. *κυδάττειν*. 99. *κυδαξόμενα* vel *κυδασόμενα* Arnaldus Lect. Gr. p. 84. 4401. Ordo *κυδαίναν* poscit, h. e. *κύμινδιν*. Cf. *κυβῆναις· γλαῦξ* (*γλαῦξαις* cod.). 4. Harp. Steph. Byz. Phot. 183, 18. 5. *κύδει* Mus. 6. Cf. gl. κ 2451. 7. Phot. 183, 17 Poll. I 82; *κύδαρον* EM. 543, 39 Bekk. 274, 18 Gell. NA. X 25, 5. Lobeck. Proll. p. 112. 9. *κυδηγαίων* codex, em. Mus. Apoll. lex. 104, 33. 10. *κύδηνεν — ἐμεταιώρησε* cod., *ἐμετεώρησε* Mus., em. Albertus ope Apoll. lex. 105, 1. 12. *κυδιανείρη· ἡ — δοξάζουσα* cod. *κυδιάνειρα* Mus. 15. Om. Mus. 20. *κύδμος* Arcad. 58, 11. Infra *Κύδμος* pro *Κύθνος*. 21. *κυδοιδοπεῖ* cod., idem supra *ἰδοιδοπεῖ*, em. Mus. Lobeck. rhem. p. 159. 23. Confundit *κῦδος, τὸ* et *κύδος, ὁ*. Cf. Lob. rhem. p. 298.

κυδρή· ἔνδοξος, σεμνή, τιμία, ἔντιμος

κυδρός· ἔνδοξος, καὶ τὰ ὅμοια. γαυριῶν. πεποιθώς. (Ἴων) Εὐρυτίδαις. συγκοπὸν Καλλίστρατος πεποιθώς

[κυδύλιον· ἔνδοξον]

Κύδωνες· ἔθνος

κυδώνιον· μέγα, καὶ ἀξιόλογον. ἢ ἀπατηλόν, δόλιον, λοίδορον. καὶ τὸ μῆλον. Κυδωνία δὲ πόλις Κρήτης. καὶ τὸ φυτόν

κυέει· ἐγκυμονεῖ, ἐν γαστρὶ ἔχει

κύει· ἐγκύμων ἐστί, γεννᾷ

κυέουσαν· ἔμβρυον ἐντὸς ἔχουσαν

κυέσσαν· κύουσαν

[κυζιθμός· ἡ ἀσαφὴς τῶν κυνῶν βοή]

Κυζικηνοὶ στατῆρες· διεβεβόηντο ὡς εὖ κεχαραγμένοι. πρόσωπον δὲ ἦν γυναικὸς ὁ τύπος

κύημα· τὸ κατὰ γαστρός. καὶ ἡ προβολὴ τῶν φυτῶν

κυηρόν· ἔγκυον. ἁπαλόν, βλαστόν

κυήσατο· ἐν γαστρὶ ἔσχεν

κύθεν· ἔκρυψεν, ἐκάλυψεν

Κυθέρεια· ἡ Ἀφροδίτη. καθ' Ὅμηρον μέν, οὐχ ὅτι [?] προσέκυρσε Κυθήροις, ἢ ὅτι κευθόμενον ἔχει ἐν ἑαυτῇ τὸν πάσης ἐρωτικῆς φιλίας ἐξηρτημένον τὸν κεστὸν ἱμάντα, ἤγουν τὸν ποικίλον. ἢ ὅτι οἱ ἐρῶντες ἐν αὐτοῖς κρύπτουσι τὸ ἐρωτικὸν πάθος

κυθηγενέσι· κρυφογενέσιν

Κύθηρα· νῆσος Κρήτης. καὶ πόλις Θεσσαλίας. τινὲς δὲ νῆσον πρὸ Μαλέου. Μάλεον δὲ ἀκρωτήριον τῆς Λακωνικῆς

Κυθηρίῳ· τῷ ἐκ Κυθήρων

κυθηρο(δίκης)· ἀρχή τις τὰ ξενικὰ διοικοῦσα

Κύθηρος· δῆμος τῆς Πανδιονίδος φυλῆς

Κυθήρων· Ἀφροδίτης ἡ πόλις

κυθνώλης· ἐξώλης. ἔνιοι δὲ πεποιῆσθαι τὴν λέξιν φασί(ν) ἀπὸ Κύθνου τῆς νήσου· ἀπολέσθαι γὰρ αὐτὴν ὑπὸ Ἀμφιτρύωνος

κυθνωνύμου· αἰσχρὸν κλέος ἔχοντος. ἢ οὗ ἄν τις ἐπικρύψειε τὸ ὄνομα διὰ τὰς συμφορὰς (καὶ) τὰς πράξεις. ἢ ἄξιον κεκρύφθαι

SCR. 24. Σ 184. 25. fr. 13 p. 569 Nck. 27. γ 292. 28. Aristoph. fr. CXCVII p. 1213. 31. Ψ 266. 34. Demosth. 914, 11 Lysias p. 896 R. 35. Plat. Rep. p. 461 C. 38. γ 16. 39. Ad Hes. Theog. 198 refert AM. et καθ' Ἡσίοδον μὲν οὖν ὅτι scribit. 40. Θ 288. 41. Thucyd. IV 53 Pherecrat. fr. II vol. II 1 p. 322. 42. Κ 268. 43. Thucyd. l. c. 44. Dem. 1041, 12.

ADNOT. 25. πεποιθὼς εὐρύτιδις συγκοπὸν Καλλίστρατος πεποιθώς codex, + Mus., πεποιθῶν priori loco a typotheta; verba δὲ τοῦ κύδρος quae in editis post συγκοπὸν leguntur unde irrepserint ignoro, nec quidquam Schowius adnotavit. — (Ἴων) Εὐρυτίδαις certissima est coniectura Bentlei Ep. ad Mill. p. 94, qui cum pergit συγκοπῇ δὲ τοῦ ρ, κῦδος. Καλλίστρατος novissimo πεποιθὼς quasi emendatione τοῦ πεποιθῶν eiecto deceptus est vulgata lectione interpolata et corrupta. 26. Corrigunt κύδιμον ut Ruhnken. 27. Apoll. lex. Hom. 104, 32. 28. Quando λοίδορον significat, aeolica est adiectivi forma, ut βοώνιος παντώνιος a κύδος· λοιδορία proveniens. Statim Κυδωνία et Κυδώνια confundit. 31. 32. Codex, ἔχουσαν κύουσαν, eiecto κύεσσαν Musurus. 32. κυόεσσαν (a κύος factum) Meinek. Philol. XIII p. 514. Nisi Doricum tenemus participium, qualia sunt ἴεσσα δέκασσα ἐπίασσα καλλιθύεσσα ἔασσα similia. 33. Sic cod. C. 63, κυζηθμός Mus. Phot., κνυζηθμός hic et infra pro κυνζηθμός legendum. 37. κυήσας cod., κύησεν Mus., correxi. 39. Κυθήροις. ἀλλ' ὅτι — [τὸν] κεστὸν Mus. 41. Θεσσαλίας cod., θαλασσία Unger Parad. Theb. p. 352. προμαλέου προμάλεον cod., em. Sorber et Guyetus. 42. τὸ cod., em. Mus. 43. κυθηρο... nunc in codice legi possunt, κυθηροδίκη Mus. vocis exitu, qui δικη fuisse videtur Schowio, deleto. 44. Κύθηρος Strab. IX p. 397 St. Byz. 391, 17 Harpocrationis p. 116, 18 codd. BCG; Κύθηρον deteriores. 45. Genetivus est a τὰ Κύθηρα. 46. Κυθμώλης — Κύδμου cod., Κύθμου Ald., em. Iunius alii. Cf. Paroemiogr. ed. Gott. p. 538 sqq. 47. Κυθωνύμου male Mus. τοῦ ἄν — καὶ om. cod., em. Zenob. IV 72 p. 101.

κυθνόν· τὸ ἄκνον φάρμακον. καὶ πολύκυθνα πολύσπερμα. κυθνὸν γὰρ τὸ σπέρμα
κυθώδεος· δυσόσμου
50. κυΐντατα· οἰκτρότατα
κυΐσκει· συλλαμβάνει
κυΐσκεται· ἔγκυος γίνεται
κυκᾷ· ταράσσει [ἢ] τὰ κάθυγρα ἄλφιτα
Κύκαλα· δῆμος τῆς Αἰαντίδος φυλῆς
55. κυκεῶ· κυκεῶνα
κυκειῶ· πόμα ἐκ πολλῶν βοτανῶν συγκείμενον φαρμακίας, ποτὸν δηλητήριον
κυκῆ· ταράσσει
κύκημα· τάραχος
κυκηθήτην· ἐταράχθησαν, δυϊκῶς
60. κυκήθραν· ταραχήν
κυκεῶ· κυκεῶνα, ἐξ οἴνου καὶ μέλιτος καὶ ὕδατος καὶ ἀλφίτων ἀναμεμιγμένον πόμα. κατὰ ἀποκοπὴν τῆς να συλλαβῆς. τὸ δὲ αὐτὸ καὶ μετὰ τοῦ ι̅ κυκ(ε)ιῶ
κυκήσεων· ταραχῶν
[κυκλήσομεν· ἐφ' ἁμαξῶν ἄξομεν]
κύκκαρος· τὸ ἐλάχιστον
65. κύκλα· οἱ κύκλοι. τροχοί. ἢ χοροί
κυκλάζει· κύκλῳ περιέρχεται
κυκλαίνει· στρόγγυλοι
κυκλάμινος· πόα τις ὑπὸ τῶν ῥιζοτόμων
[κύκλετε· ἀκούσατε]
70. [κύκλευον· εἶδος πόματος ἐξ εἰδῶν συγκείμενον]
κυκλήσομεν· ἀνάξομεν, ἐπ' ἁμαξῶν κομιοῦμεν
κύκλιοι αὐλοί· οὕτω τινὲς ἐκαλοῦντο. εἶεν δ' ἂν οἱ χορικοί
κυκλιοδιδάσκαλον· κύκλιον χορὸν διδάσκοντα
κύκλιοι χοροί·.....
75. Κυκλοβόρος· ποταμός. τινὲς δὲ χαράδραν μετὰ ψόφου ῥέουσαν
κύκλοι· τροχοί. ὀφθαλμοί
κύκλος· περίβολος. καὶ ἐν ἀγορᾷ τόπος, ἔνθα σκεύη καὶ σώματα πιπράσκονται. καὶ ἐν ταῖς κωμῳδίαις ὑπότροχόν τι κατασκεύασμα. καὶ παρὰ τοῖς γεωμέτραις ἐπίπεδον σχῆμα ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον. καὶ εἶδος ἱππασίας.

SCR. 53. κ 234, ubi ἄλφιτα ἐκύκα legitur. 55. κ 290. 56. Λ 623. 59. Λ 129. 61. κ 290 Λ 623. 63. Η 332. 65. Ε 722. 68. E Sophoclis ῥιζοτόμοις? 71. = 63. 73. Ar. Av. 1403. 75. Arist. fr. inc. LXXXVI p. 1196.

ADNOT. 48. Cf. α 2696. 49. Nescio an huc pertineat Hellad. ap. Phot. Bibl. 533, 14. Placet certe Ruhnkenii coniectura κηώδεος· ἡδυόσμου. 50. κύντατα Mus., q. v. Non prorsus tamen κυΐντατα damnaverim, cum πύϊρ etiam pro πῦρ dixisse Simonidem testis sit Herod. dict. sol. 12, 20. 53. Induxi ἤ. 54. Ross. Dem. p. 40. 56. φαρμακία Mus. Cf. Apoll. lex. 105, 3. 57. κυκεῖ cod., ordo doricam postulat formam, saepius obliteratam. Cf. βλῆ. 60. συμφορά σκυθρωπότης Phot. 184, 17. 61. ι̅ κυκίω cod., em. Mus. 62. κυκησ, κυκέων, ταραχῶν cod., κυκήσεις· ταράξεις. κυκεώνων· ταραχῶν Mus., κυκέων· ἡ ταραχήας C. 39, κυκέων· ταράσσων κυκή (h. e. κυκήσεις)·..... male Schowius, em. GDindorf. Thes. IV c. 2075 D probante Meinekio Philol. XIII p. 562. 63. κυκήσωμεν· ἐπανάξωμεν cod., ἐπανάξομεν Mus., em. Albertus. 64 κύκκαρος cod., κύκαρος male Mus. Cf κικκάβιν., κόκκυ et Com. Gr. vol. II 2 p. 767. 65. Apoll. lex. 104, 35. 68. κυκλάμενος cod., em. Mus. 69. κύκλετε ἢ κέκλυτε· Mus. 70. εἴδη *species odoratas intellegit Hemsterh. Ar. Plut. p.* 320. *Nomen ipsum iure suspectum habet Albertus, qui ex κυκεών depravatum esse conicit.* Thes. IV c. 2076 D. 71. Apoll. lex. 105, 2. C. 39. κυκλείσομεν cod., em. Mus. 72. κύκλειοι codex. 73. κύκλειον, — κυκλεῖον cod., κύκλιον, — κυκλίων Mus., em. Is. Voss. 74. κύκλειοι cod., em. Voss. 77. ἐν ἀγορᾷ] Hic κύκλοι potius appellabatur. Mox ἐκκύκλημα dicere videtur.

κυκλοτερές· περιφερές. ἐπικαμπές

κύκλους καὶ τροχούς· τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος, ὡς Σοφοκλῆς Ἡρακλεῖ· Κυκλώπιον τροχόν

80. κυκλοφορούμενος· κατὰ κύκλον φερόμενος

* κυκλογάλων· γλίσχρων, σμικρολόγων

Κυκλώπων ἕδος· ἐπειδὴ Κύκλωπες ἐτείχισαν τὰς Μυκήνας

Κυκλώπων· χαλκέων

κύκνος· ὄρνεον

85. [κυκοίας· προγόνους]

κυκύιζα· γλυκεῖα κολόκυντα

κύκνον· τὸν σικυόν

κυκῶν· ταράσσων. ἀναζέων. [θρηνῶν

[κυκοῦντος· θρηνοῦντος]

90. [κυκλοστάθμοις· ὑψηλοῖς]

κύλα· τὰ ὑποκάτω τῶν βλεφάρων κοιλώματα. τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς μῆλα. τὰ ὑπώπια

κυληβίς· κολοβή

κυλικία· ἡδιατοῖς ἐπὶ τόπον. Ἰόβας

κυλικήρυτον αἷμα· ὡς τὸ κοτυλήρυτον, οἷον πολύ

95. Κυλικράνων· Πολέμων φησίν, ὅτι τοὺς ὤμους κεχαραγμένοι ἦσαν κύλικες. οἱ δὲ τοὺς ὑπὸ τῇ Οἴτῃ Ἡρακλεώτας ἀπό τινος ... ὠνομάσθαι

κυλίνδει· ἐπιφέρει. κυλίει

κυλίνδεσθαι· ὁμοίως

κύλινδροι· ὄφεις. καὶ σφραγῖδος εἶδος. καὶ πόλεμοι. καὶ λίθοι στρογγύλοι

κυλινδούμενος· κυλιόμενος, περιστρεφόμενος

4500. κυλίνθιον· προσωπεῖον ξύλινον

κύλιξ· κοτύλη, ποτήριον

κυλίχνη· φιάλη. καὶ ἡ ἰατρικὴ πυξίς

κυλιχνίδες· πυξίδες. ἄλλοι λιβανωτίδες. ἕτεροι ἀγγεῖα κεραμεᾶ. ἄλλοι κύλικας. ἄλλοι πυξίδας ἰατρικάς

SCR. 78. *Δ* 124. 79. fr. 208 p. 142 Nck. 82. fr. trag. adesp. 212 p. 685. 83. ζ 5. 90. Hagg. I 4 LXX. 95. Polem. fr. LVI p. 99 Hermipp. fr. IV p. 97. 96. *P* 688. 97. *Δ* 147. 99. κ 449? 4502. Arist. fr. XI p. 1153. 3. Achaeus fr. 14 p. *584. — Hippocrat. Galen. lex. 510.

ADNOT. 78. *κυκλωτερές* cod., em. Mus. 79. *ἡρακλέα κυκλώπιον·* cod., *Ἡρακλεῖ κυκλώπειον* Mus, *Ἡρακλεῖ α'* Schowius. 81. Non liquet. 82. *Τιρύνθιον πλίνθευμα*, quod Sopingus apposuit, cum h. gl. ad unum trimetrum coniungi posse animadvertit Meinek. An. Alex. p. 51 n. *ἐτείχησαν* cod., em. Mus. 85. Cf. gl. κ 3303. 87. Alludit ad *cucumis*. 88. *θρηνῶν* ad *κωκύων* refert Alb., *ὀρίνων* corr. Lob. ad Soph. Ai. p. 351. 89. *κωκύοντος* Alb. 90. *κοιλοστάθμοις* Alb., coll. *κολόσταθμος*. 91. Poll. II 66 Eustath. 1951, 18 EM. 544, 44. *μῆλα*] *κοῖλα*? 92. Malim *κυλληβίς*. Cf. κ 4511. 93. *κυλικία, ἡδιατοῖς ἐπὶ τόπου. Ἰοβὰς* cod., *κυλικίας· ἰδιώτης, ἀπὸ τόπου. Ἰόβας* Mus., *κυλικία· — ἡ δίαιτα ἐπὶ πότου* Schowius, *Κυλίκιαι διῶτοι· ἀπὸ τόπου* Meinek. Philol. XII p. 614. Repudiatis, quae XIII p. 221 scripsi, nunc venti nomen latere puto e. g. *Κιλικίας· ἀπηλιώτης*. 94. *Κυλίκρανον — κύλικες — ὑπό τισι τῇ — ὀνομᾶσθαι* cod., *ὑπό τισι τοὺς — ὠνομάσθαι* Mus., em. Casaub. ad Athen. p. 777 XI p. 461 E; sed *Κύλικες* an *κύλικας* scribam dubito. Post *τινὸς* excidit *Κύλικος*. 96. *κυλινδεῖ· ἐπιφέρει* cod., *κυλίνδει· περιφέρει* Meinek. Philol. XII p. 614. Fallitur Cobet VL p. 134. 98. *ὄφεις — πόλεμοι*] Conicio *ὄρχεις* et *ὅλμοι*. Hoc suadet Hesychius ipse *ὅλμος· κύλινδρος* (cf. *Δ* 147), illud e glossis Graecobarbaris irrepsisse videtur. *σφραγῖδος*] Plin. HN. XXXVII 5. 99. Malim *κυλινδόμενος* propter Odyss. κ 449. 4500. Cf. *κύνθιον κύριθρα κυριττοί*. — *προσώπιον* cod., em. Salmasius. 2. *κυλίκνη* EM. 544, 38. — *πῆξις* cod., em. Mus. 3. *λιβανατρίδες* cod. *λιβανωτρίδες* Salmas., em. LDindorf. Thes. V c. 358 C. Statim pro *κεράμεα* scripsi *κεραμεᾶ*.

κύλλα[ς]· σκύλαξ. Ἠλεῖοι

κύλλαβοι· ὑπώπια

[κυλλαίνει· θυμαίνει]

κύλλαιος· βόστρυχος

κυ(λ)λάραβις· δίσκος. ἢ γυμνάσιον ἐν Ἄργει

κύλλαστις· ἄρτος τις ἐν Αἰγύπτῳ ὑποξίζων ἐξ ὀλύρας

κυλλατούς· τοὺς ὀφθαλμούς

κυλλήβδην· κολοβόντα. οἱ δὲ κέρατα κολόβια παρ' Ἱππώνακτι

κυλαίνων κάτω· Σοφοκλῆς Φαίδρᾳ. τὰ ὦτα καταβαλών, ἥπερ οἱ σαίνοντες ..... ποιοῦσιν·

„ἔσαιν' ἐπ' οὐρὰν ὦτε κυλαίνων κάτω“

οἷον·

οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε καὶ οὔατα κά(β)βαλεν ἄμφω·

Κυλλήνη· ὄρος Ἀρκαδίας

Κυλλήνιος· ὄνομα κύριον

κύλλια· ὑπώπια μελανά

* κυλινδέσθαι· κυλίεσθαι

κυλλοποδίων· χωλός. [μονόχειρ

κυλλός· χωλός. καμπύλος

* κόλλοβος· ξηρὰς συκῆ·

κύλλου πήρα· ζητοῦσι διά(τί) τὸ πορνεῖον Κύλλου Πήραν Ἀριστοφάνης εἴρηκεν ἐν Δράμασιν ἢ Κενταύρῳ·

τὸ δὲ πορνεῖον Κύλλου πήρα.

ἔστι γὰρ χωρίον Ἀθήνησιν ἐπηρεφὲς καὶ κρήνη. ἀντὶ δὲ τοῦ Πέραν πήραν ἔφη

Κυλ(λ)ών(ε)ιον ἄγος· ἀπὸ ἱστορίας. τοῦτο δὲ λέγει σαφῶς Θουκυδίδης

κῦμα· ὕδατος ἐπιδρομὴ βιαία. καὶ τὸ ἔτι ὂν ἐν τῇ κοιλίᾳ· καὶ τὸ γεννώμενον κύημα

κυμάδας· ἐγκύους

SCR. 9. Aristoph. fr. I vol. II 2 p. 1047. 11. fr. 122 p. 613. Bgk. 12. fr. 620 p. 224 ρ 302. 13. B 603. 14. O 518. 17. Σ 371. 18. Hippocrates passim. 20. fr. IX p. 1058. Cratin. fr. VIII p. 79. 21. Thucyd. I 126. 22. Aeschl. Choeph. 128 Eur. fr. 107.

ADNOT. 4. κύλλας. κύλαξ cod., em. Is. Vossius. Decepti codicis prava lectione sunt Lobeck. Path. p. 128 Parall. p. 126, 8 Ahrens Dial. I 228, ubi βάννας pro βάναξ comparat. 5. Latere putabam verbum aliquod, cui apta sit interpretatio ὑπωπιάζει. Cf. tamen κύλα et κύλλια. Lob. Proll. p. 286. 6. Hoc et σκυλμαίνει recte Ruhnkenius corr. σκυδμαίνει. 7. Hoc an κύμαρος v. germanum sit non liquet. 8. κυλαραβίς cod., κυλάραβις Phot. 185, 14 Plutarch. Pyrrh. c. 32 Paus. II 22, 8, duplex λ quod serie requiritur praebent Plut. Cleom. c. 26, nisi quod κυλλάβαριν ibi scribebatur et Lucian. pro merc. cond. c. 11. 9. κυλλὰς τὶς cod., κυλλάστις Mus. Idem accentus est in Athen. III p. 114 C. At cum Aegyptia nomina in ις exeuntia accentum in antepenultinam retrahere constet, non dubito quin recte GDindorf. Thes. IV c. 2099 C κύλλαστις et κυλλῆστις (ionice) unice probaverit. ὑπὸ ῥιζῶν ἐξολλύρας cod., illud Casaubonus hoc Musurus correxerunt ex Ath. l. l. 10. κύλα· τοὺς ὀφθαλμοὺς Salmasius. Nec κυλιστοὺς ordo admittit. 11. Cf. gl. κ 4492. — κυλλήβδην — Ἱππόνακτι cod., κυλλήβην — Ἱππώνακτι Mus. Pro οἱ δὲ malim οἷον ut ipsius Hipponactis verba proferri pateat; pro κολοβόντα vero κολοβὸν τὰ (αἰδοῖα), cum etymon vocabuli obscurioris κυλλὸς τὴν ἥβην esse videatur, quo ducit etiam sequens κέρατα. 12. ἅπερ οἱ σαίνοντες ποιοῦσιν, ἔσται ἐπουρανῶτεκυθλάννων. καὶ τὸ οἷον οὔρημεν, ῥογέσηνε, καὶ οὔατα καβαλεν cod., ἐπ' οὐρὰν ὦτε κυλαίνων. — οὐρῇ μὲν ῥ' οἱ ἔσηνε — κάββαλεν Mus., ἧπερ vel ὅπερ οἱ σαίνοντες κύνες ποιοῦσιν· ἔσαινεν οὐρὰν ὦτα κυλλαίνων κάτω. οἷον Hemsterhusius, ἐπ' οὐρὰν et οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε Iensius Luc. Hes. p. 146. Κυλλαίνων bis iam Salmasius reposuerat, ὦτε debetur Nanckio. Vereor tamen ne ΚΥΛΛΙΝΩΝ corruptum sit e ΚΥΛΛΗΝΟΝ vel ΚΥΛΛΗΝΕΝ. Hoc certe postulat ordo. 14. Apollon. lex. 105, 13. 15. Cf. 4505. 16. κυλλίνδεσθαι Vossius, κυλινδεῖσθαι Albertus. 17. κολόχειρ? quod ad gl. seq. traxerim. 19. κύλλοβος· ξηρὰ συκῆ Phavor., neque hoc ordine conveniens. Cf. μύσηλοι. 20. (τί) Mus. — ἐπιφερὲς cod., em. Voss. Cf. gl. κ 2685 et Theognost. 101, 11 Πέρα· ὄνομα τόπου. 21. (ε) Florens.

[κυμάγχη· ἡ εἱρκτή]
κυμαίνεται· ταράσσεται
κυμαίνουσα· ταράσσουσα. οἰδαίνουσα. ὑπερβλύζουσα
κύμαρος· κόμαρος. βόστρυχος
* κύματι κωφῷ· (ἀ)ήχῳ
